**ἀγωγή / agoge**

Damon fr. 9 Diels-Kranz ap. Plat. *remp*. 400b-c οἶμαι δέ με ἀκηκοέναι οὐ σαφῶς ἐνόπλιόν τέ τινα (*scil.* ῥυθμόν) ὀνομάζοντος αὐτοῦ ξύνθετον καὶ δάκτυλον καὶ ἡρῷόν γε, οὐκ οἶδα ὅπως διακοσμοῦντος καὶ ἴσον ἄνω καὶ κάτω τιθέντος, εἰς βραχύ τε καὶ μακρὸν γιγνόμενον, καί, ὡς ἐγὼ οἶμαι, ἴαμβον καί τιν᾽ ἄλλον τροχαῖον ὠνόμαζε, μήκη δὲ καὶ βραχύτητας προσῆπτε. καὶ τούτων τισὶν οἶμαι τὰς ἀγωγὰς τοῦ ποδὸς αὐτὸν οὐχ ἧττον ψέγειν τε καὶ ἐπαινεῖν ἢ τοὺς ῥυθμοὺς αὐτούς, ἤτοι ξυναμφοτερόν τι· οὐ γὰρ ἔχω λέγειν ἀλλὰ ταῦτα μέν, ὥσπερ εἶπον, εἰς Δάμωνα ἀναβεβλήσθω· διελέσθαι γὰρ οὐ σμικροῦ λόγου.

Aristox. *harm*. 43. 11 sqq. da Rios πάλιν ἐν τοῖς περὶ τοὺς ῥυθμοὺς πολλὰ τοιαῦθ᾽ ὁρῶμεν γιγνόμενα· καὶ γὰρ μένοντος τοῦ λόγου, καθ᾽ ὃν διώρισται τὰ γένη, τὰ μεγέθη κινεῖται τῶν ποδῶν διὰ τὴν τῆς ἀγωγῆς δύναμιν, καὶ τῶν μεγεθῶν μενόντων ἀνόμοιοι γίγνονται οἱ πόδες.

Fragm. Neap. 14 sq. (p. 28. 21 sqq. Pearson) ἄρχεται δὲ τὸ δακτυλικὸν ἀπὸ τετρασήμου ἀγωγῆς, αὔξεται δὲ μέχρι ἑξκαιδεκασήμου, ὥστε γίνεσθαι τὸν μέγιστον πόδα τοῦ ἐλαχίστου τετραπλάσιον. ἔστι δὲ ὅτε καὶ ἐν δισήμῳ γίνεται δακτυλικὸς πούς. τὸ δὲ ἰαμβικὸν γένος ἄρχεται μὲν ἀπὸ τρισήμου ἀγωγῆς, αὔξεται δὲ μέχρι ὀκτωκαιδεκασήμου, ὥστε γίνεσθαι τὸν μέγιστον πόδα τοῦ ἐλαχίστου ἑξαπλάσιον. τὸ δὲ παιωνικὸν ἄρχεται μὲν ἀπὸ πεντασήμου ἀγωγῆς, αὔξεται δὲ μέχρι πεντεκαιεικοσασήμου, ὥστε γίνεσθαι τὸν μέγιστον πόδα τοῦ ἐλαχίστου πενταπλάσιον. διαφέρουσι δὲ οἱ μείζονες πόδες τῶν ἐλαττόνων ἐν τῷ αὐτῷ γένει ἀγωγῇ. ἔστι δὲ ἀγωγὴ ῥυθμοῦ τῶν ἐν τῷ αὐτῷ λόγῳ ποδῶν κατὰ μέγεθος διαφορά, οἷον ὁ τρίσημος ἰαμβικός, ὁ σημεῖον συνέχων <ἓν> ἐν ἄρσει καὶ διπλάσιον ἐν θέσει. τῶν γὰρ τριῶν ἡ διαίρεσις εἰς σημεῖον καὶ διπλάσιον γίνεται τῶν τε ἓξ ὁμοίως.

Pap. Ox. 2687 V 13 sqq. (p. 43 Pearson) τί γὰρ οὐκ ἂν ἡ δύο ἰαμβικοῖ[ς] εἰς τὸν π[όδα χ]ρωμένη ῥυθμο[π]οιί[α . . . τὴ]ν αὐ[τὴ]ν ἀγωγὴ[ν] [. . . . . . . . . . . . . . .]ικοις χρ[ωμένη . . . . . . . . . . . . .] . [.]υ γεγε[. . . . . . . . . . . . .]ον δι᾽ ἥν [αἰ]τίαν [. . . .] . . . φανερὸν· π[ε]ρὶ μὲν οὖ[ν τούτ]ου τοῦ σχήματος τοσαυτ᾽ [εἰ]ρήσθω· ἡ γὰρ π[α]ρὰ φύσιν τῶν ξυλλαβῶν θέσις ἡ εἰς [τ]ὴ[ν] δακτυλικὴν ῥυθμποποί[ιαν ξ]υντείνουσα φαν[ερὰ ἐκ τῶν] ἔμπροσθεν· ἡ δ᾽ ἀπὸ βραχείας ἀρχομένη τ[ῶν] ξυλλα[βῶν τά]ξις οἰκεία μὲν [οὐ]δενός [ἐσ]τιν τῶν ῥυθμῶν [τοι]ούτω[ν . . . . . ἰα]μβικὴ τοῦ ἰάμβου τα. [. . . . .]να σχήματα τῆς λέ[ξε]ω[ς . . .]της ἐστὶ μέν τι ν[. . . . . . .]υ[.]ν[. . . .] αυτων ου[. . . . . .]τ[. . .]μ[. .]ρατοις δ[. . . . . . .]μενον ὥσ[τε] ξυνεχει[. . . . .]αυτης χρήσει οὐ ῥαι-.

Dion. Hal. *de comp. verb*. 19. 130 (p. 84. 19 sqq. Vsener-Radermacher) τοῖς δὲ τὰ μέλη γράφουσιν τὸ μὲν τῶν στροφῶν τε καὶ ἀντιστρόφων οὐχ οἷόν τε ἀλλάξαι μέλος, ἀλλ᾽ ἐάν τ᾽ ἐναρμονίους ἐάν τε χρωματικὰς ἐάν τε διατόνους ὑποθῶνται μελῳδίας, ἐν πάσαις δεῖ ταῖς στροφαῖς καὶ ἀντιστρόφοις τὰς αὐτὰς ἀγωγὰς φυλάττειν· οὐδέ γε τοὺς περιέχοντας ὅλας τὰς στροφὰς ῥυθμοὺς καὶ τὰς ἀντιστρόφους, ἀλλὰ δεῖ καὶ τούτους τοὺς αὐτοὺς διαμένειν· περὶ δὲ τὰς καλουμένας ἐπῳδοὺς ἀμφότερα κινεῖν ταῦτα ἔξεστι τό τε μέλος καὶ τὸν ῥυθμόν.

τὰ δὲ κῶλα ἐξ ὧν συνέστηκε περίοδος ἐπὶ πολλῆς ἐξουσίας δέδοται [αὐτοῖς] ποικίλως διαιρεῖν ἄλλοτε ἄλλα μεγέθη καὶ σχήματα αὐτοῖς περιτιθέντας, ἕως ἂν ἀπαρτίσωσι τὴν στροφήν· ἔπειτα πάλιν δεῖ τὰ αὐτὰ μέτρα καὶ κῶλα ποιεῖν.

Dion. Hal. *de comp. verb. epit.* 19 (p. 174. 4 sqq. Vsener-Radermacher) αὐτίκα τοῖς μὲν ἐποποιοῖς μέτρον οὐκ ἔξεστι μεταβάλλειν, ἀλλ᾽ ἀνάγκη πάντας εἶναι τοὺς στίχους ἑξαμέτρους· οὐδέ γε ῥυθμόν, ἀλλὰ τοῖς ἀπὸ μακρᾶς ἀρχομένοις συλλαβῆς χρήσονται. τοῖς δὲ τὰ μέλη γράφουσιν τὸ μὲν τῶν στροφῶν τε καὶ ἀντιστρόφων οὐχ οἷόν τε ἀλλάξαι μέλος· ἀλλ᾽ ἐάν τ᾽ ἐναρμονίους ἐάν τε χρωματικὰς ἐάν τε διατόνους ὑποθῶνται μελῳδίας, ἐν πάσαις δεῖ ταῖς στροφαῖς καὶ ἀντιστρόφοις τὰς αὐτὰς ἀγωγὰς φυλάττειν· περὶ δὲ τὰς καλουμένας ἐπῳδοὺς ἀμφότερα κινεῖν ταῦτα ἔξεστι, τό τε μέλος καὶ τὸν ῥυθμόν τὰ δὲ κῶλα ἐξ ὧν συνέστηκε περίοδος ἑκάστη, ἄλλοτε ἄλλα μεγέθη καὶ σχήματα αὐτοῖς περιτιθέντας.

Arist. Qvint. *de mus.* I 13 (p. 32. 8 sqq. Winnington-Ingram) μέρη δὲ ῥυθμικῆς πέντε· διαλαμβάνομεν γὰρ περὶ πρώτων χρόνων, περὶ γενῶν ποδικῶν, περὶ ἀγωγῆς ῥυθμικῆς, περὶ μεταβολῶν, περὶ ῥυθμοποιίας.

Arist. Qvint. *de mus.* I 19 (p. 39. 26 sqq. Winnington-Ingram) ἀγωγὴ δέ ἐστι ῥυθμικὴ χρόνων τάχος ἢ βραδυτής, οἷον ὅταν τῶν λόγων σῳζομένων οὓς αἱ θέσεις ποιοῦνται πρὸς τὰς ἄρσεις διαφόρως ἑκάστου χρόνου τὰ μεγέθη προφερώμεθα. ἀρίστη δὲ ἀγωγῆς ῥυθμικῆς ἔμφασις ἡ κατὰ μέσον τῶν θέσεων καὶ τῶν ἄρσεων ποσὴ διάστασις.

Arist. Qvint. *de mus.* I 19 (p. 40. 1 sqq. Winnington-Ingram) μεταβολὴ δέ ἐστι ῥυθμικὴ ῥυθμῶν ἀλλοίωσις ἢ ἀγωγῆς. γίνονται δὲ μεταβολαὶ κατὰ τρόπους δώδεκα· κατ᾽ ἀγωγήν· κατὰ λόγον ποδικόν, ὅταν ἐξ ἑνὸς εἰς ἕνα μεταβαίνῃ λόγον ἢ ὅταν ἐξ ἑνὸς εἰς πλείους ἢ ὅταν ἐξ ἀσυνθέτου εἰς μικτὸν ἢ ἐκ ῥητοῦ εἰς ἄλογον ἢ ἐξ ἀλόγου εἰς ἄλογον ἢ ἐκ τῶν ἀντιθέσει διαφερόντων εἰς ἀλλήλους ἢ ἐκ μικτοῦ εἰς μικτόν.

Arist. Qvint. *de mus.* II 15 (p. 84. 3 sqq. Winnington-Ingram) ἔτι τῶν ῥυθμῶν οἱ μὲν ταχυτέρας ποιούμενοι τὰς ἀγωγὰς θερμοί τέ εἰσι καὶ δραστήριοι, οἱ δὲ βραδείας καὶ ἀναβεβλημένας ἀνειμένοι τε καὶ ἡσυχαστικοί· ἔτι δὲ οἱ μὲν στρογγύλοι καὶ ἐπίτροχοι σφοδροί τε καὶ συνεστραμμένοι καὶ εἰς τὰς πράξεις παρακλητικοί, οἱ δὲ περίπλεῳ τῶν φθόγγων τὴν σύνθεσιν ἔχοντες ὕπτιοί τέ εἰσι καὶ πλαδαρώτεροι, οἱ δὲ μέσοι κεκραμένοι τε ἐξ ἀμφοῖν καὶ σύμμετροι τὴν κατάστασιν.

Porph. in Ptol. *harm.* I 4, p. 78. 21 sqq. Düring (= p. 97, 1 sqq. Raffa) ἐν δὲ τῷ ‘περὶ τοῦ πρώτου χρόνου’ (p. 32 Pearson) καὶ τὴν ἐσομένην ἂν πρός τινων κατηγορίαν ἀπολυόμενος γράφει (*scil.* ὁ Ἀριστόξενος) ταῦτα· ὅτι δ᾽ εἴπερ εἰσὶν ἑκάστου τῶν ῥυθμῶν ἀγωγαὶ ἄπειροι, ἄπειροι ἔσονται καὶ οἱ πρῶτοι (*scil.* χρόνοι), φανερὸν ἐκ τῶν ἔμπροσθεν εἰρημένων.

Porph. in Ptol. *harm.* p. 79. 16 sqq. Düring (= p. 97, 23 sqq. Raffa) καθόλου δὴ νοητέον, ὃς ἂν ληφθῇ τῶν ῥυθμῶν, ὅμοιον εἰπεῖν ὁ τροχαῖος, ἐπὶ τῆσδέ τινος ἀγωγῆς τεθεὶς ἀπείρων ἐκείνων πρώτων ἕνα τινὰ λήψεται εἰς αὐτόν.

Bacch. 304. 6 sqq. μεταβολὰς οὖν πόσας λέγομεν εἶναι; — ζ. — τίνας ταύ-

τας; — συστηματικήν, γενικήν, κατὰ τρόπον, κατὰ ἦθος, κατὰ ῥυθμὸν, κατὰ ῥυθμοῦ ἀγωγὴν, κατὰ ῥυθμοποιΐας θέσιν.

Bacch. 305. 1 sq. ἡ δὲ κατὰ ῥυθμοῦ ἀγωγὴν ποία; — *** ὅταν ῥυθμὸς ἀπ᾽ ἄρσεως ἢ θέσεως γένηται.

Schol. in [Hom.] *Il.* XXIII 644a (V, p. 466. 90 sqq. Erbse) ἔργων τοιούτων· <ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ>. ὅτι ὁ στίχος οὗτος καὶ ἑξάμετρος γίνεται καὶ τρίμετρος παρὰ τὴν ἀγωγὴν τῆς προφορᾶς A.

Mart. Cap. IX 970 (p. 373. 17 sqq. Willis) verum numeri genera sunt septem: primum de temporibus; secundum de enumeratione verborum, quae in numero cadere possunt, quae rhythmoide, id est similia numeris, iudicantur quaeque tribus vocabulis discernuntur, hoc est errhythmon, arrhythmon, rhythmoides; tertium de pedibus; quartum de eorum genere; quintum est, quod agogen rhythmicam nominamus, id est quo genere numerus modique ducantur; sextum de conversionibus; ultimum rhythmopoeia, id est quemadmodum procreatio numeri possit effingi. [*L.C.*]